κυνεῖ αὐτῷ καὶ προσεύχεται λέγων Ἐξελοῦ με, ὅτι θεός μου εἶ σύ.
[18]οὐκ ἔγνωσαν φρονῆσαι, ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς 18
ὀφθαλμοῖς αὐτῶν καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. [19]καὶ οὐκ ἐλο- 19
γίσατο τῇ καρδίᾳ αὐτοῦ οὐδὲ ἀνελογίσατο ἐν τῇ ψυχῇ αὐτοῦ οὐδὲ
ἔγνω τῇ φρονήσει ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρὶ καὶ
ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους καὶ ὀπτήσας κρέας ἔφαγεν
καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησεν καὶ προσκυνοῦσιν
αὐτῷ. [20]γνῶτε ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται, καὶ 20
οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ· ἴδετε, οὐκ ἐρεῖτε ὅτι
Ψεῦδος ἐν τῇ δεξιᾷ μου;

[21]Μνήσθητι ταῦτα, Ιακωβ καὶ Ισραηλ, ὅτι παῖς μου εἶ σύ· ἔπλασά 21
σε παῖδά μου, καὶ σύ, Ισραηλ, μὴ ἐπιλανθάνου μου. [22]ἰδοὺ γὰρ 22
ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου καὶ ὡς γνόφον τὰς ἁμαρ-
τίας σου· ἐπιστράφητι πρός με, καὶ λυτρώσομαί σε. [23]εὐφράνθητε, 23
οὐρανοί, ὅτι ἠλέησεν ὁ θεὸς τὸν Ισραηλ· σαλπίσατε, θεμέλια τῆς
γῆς, βοήσατε, ὄρη, εὐφροσύνην, οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ
ἐν αὐτοῖς, ὅτι ἐλυτρώσατο ὁ θεὸς τὸν Ιακωβ, καὶ Ισραηλ δοξα-
σθήσεται.

[24]Οὕτως λέγει κύριος ὁ λυτρούμενός σε καὶ ὁ πλάσσων σε ἐκ 24
κοιλίας Ἐγὼ κύριος ὁ συντελῶν πάντα ἐξέτεινα τὸν οὐρανὸν μόνος
καὶ ἐστερέωσα τὴν γῆν. τίς ἕτερος [25]διασκεδάσει σημεῖα ἐγγαστρι- 25
μύθων καὶ μαντείας ἀπὸ καρδίας, ἀποστρέφων φρονίμους εἰς τὰ
ὀπίσω καὶ τὴν βουλὴν αὐτῶν μωρεύων [26]καὶ ἱστῶν ῥήματα παιδὸς 26
αὐτοῦ καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων; ὁ λέγων
Ιερουσαλημ Κατοικηθήσῃ, καὶ ταῖς πόλεσιν τῆς Ιουδαίας Οἰκοδομη-
θήσεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀνατελεῖ· [27]ὁ λέγων τῇ ἀβύσσῳ 27
Ἐρημωθήσῃ, καὶ τοὺς ποταμούς σου ξηρανῶ· [28]ὁ λέγων Κύρῳ 28
φρονεῖν, καὶ Πάντα τὰ θελήματά μου ποιήσει· ὁ λέγων Ιερουσα-
λημ Οἰκοδομηθήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω.

[1]Οὕτως λέγει κύριος ὁ θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα 45
τῆς δεξιᾶς ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων
διαρρήξω, ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλει-
σθήσονται [2]Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι καὶ ὄρη ὁμαλιῶ, θύρας 2
χαλκᾶς συντρίψω καὶ μοχλοὺς σιδηροῦς συγκλάσω [3]καὶ δώσω σοι 3
θησαυροὺς σκοτεινούς, ἀποκρύφους ἀοράτους ἀνοίξω σοι, ἵνα γνῷς

17 αυτω > BC | προσευχ. AQ] + προς αυτο B, + προς αυτον S, + αυτω *LC*: cf. 𝔐 || 19 τη $1^0$ — εν $1^0$ > BC: cf. 𝔐 | τη $1^0$] η S*† | εν $1^0$ > S*Q | κρεας] ς > B*L* | προσκυνησουσιν S†, -νει *L* || 20 γνωτε SA (et Q*?)] γνωθι B*LC*: item Q(ex corr.?) || 21 οτι] ο S* || 23 θεμελια AQ*L*] pr. τα BSC | ελυτρωσ.] ηλεησεν A† || 24 ο $2^0$ SQ*L*] > BAC | πλασσων] πλασας S*L* | παντα] ταυτα A† || 25 διεσκεδασεν A || 26 παιδων A† | ιουδ.] ιδουμαιας B†: cf. 7 6
45 1 δεξιας] + αυτου Sc || 2 σου] αυτου A || 3 αορατους > A*† | γνωση A 393†